λόγον ἔχω, σὲ δὲ καταλείπω· ὁ μὲν γὰρ λόγος περιμενεῖ, τὸ δ' ὄψον πεπράσεται."

120 Φέρονται δ' αὐτοῦ διάλογοι ἐννέα ψυχροί· Μόσχος, Ἀρίστιππος ἢ Καλλίας, Πτολεμαῖος, Χαιρεκράτης, Μητροκλῆς, Ἀναξιμένης, Ἐπιγένης, Πρὸς τὴν ἑαυτοῦ θυγατέρα, Ἀριστοτέλης. τούτου φησὶν Ἡρακλείδης καὶ τὸν Ζήνωνα ἀκοῦσαι τὸν τῆς στοᾶς κτίστην. γηραιὸν δὲ τελευτῆσαί φησιν Ἕρμιππος, οἶνον προσενεγκάμενον ὅπως θᾶττον ἀποθάνοι.

Ἔστι δὲ καὶ εἰς τοῦτον ἡμῶν·

τὸν Μεγαρέα Στίλπωνα, γιγνώσκεις δ' ἴσως,
γῆρας, ἔπειτα νόσος καθεῖλε, δύσμαχον ζυγόν·
ἀλλ' οἶνον εὗρε τῆς κακῆς συνωρίδος
φέρτερον ἡνίοχον· <χανδὸν> πιὼν γὰρ ἤλασεν.

προσεσκώφθη δὲ ὑπὸ Σωφίλου τοῦ κωμικοῦ ἐν δράματι Γάμῳ·

Στίλπωνός ἐστι βύσμαθ' ὁ Χαρίνου λόγος.

## Κεφ. ιβ'. ΚΡΙΤΩΝ

121 Κρίτων Ἀθηναῖος· οὗτος μάλιστα φιλοστοργότατα διετέθη πρὸς Σωκράτην, καὶ οὕτως ἐπεμελεῖτο αὐτοῦ, ὥστε μηδέποτ' ἐλλείπειν τι τῶν πρὸς τὴν χρείαν. καὶ οἱ παῖδες δὲ αὐτοῦ διήκουσαν Σωκράτους, Κριτόβουλος, Ἑρμογένης, Ἐπιγένης, Κτήσιππος. ὁ δ' οὖν Κρίτων διαλόγους γέγραφεν ἐν ἑνὶ φερομένους βιβλίῳ ἑπτακαίδεκα, τοὺς ὑπογεγραμμένους,

Ὅτι οὐκ ἐκ τοῦ μαθεῖν οἱ ἀγαθοί.
Περὶ τοῦ πλέον ἔχειν.

keep the argument though I am leaving you; for the argument will remain, but the fish will soon be sold."

Nine dialogues of his are extant written in frigid style, *Moschus*, *Aristippus* or *Callias*, *Ptolemy*, *Chaerecrates*, *Metrocles*, *Anaximenes*, *Epigenes*, *To his Daughter*, *Aristotle*. Heraclides relates that Zeno, the founder of the Stoic school, was one of Stilpo's pupils [a]; Hermippus that Stilpo died at a great age after taking wine to hasten his end.

I have written an epitaph on him also [b]:

Surely you know Stilpo the Megarian; old age and then disease laid him low, a formidable pair. But he found in wine a charioteer too strong for that evil team; he quaffed it eagerly and was borne along.

He was also ridiculed by Sophilus the Comic poet in his drama *The Wedding* [c]:

What Charinus says is just Stilpo's stoppers.

## CHAPTER 12. CRITO

Crito was a citizen of Athens. He was most affectionate in his disposition towards Socrates, and took such care of him that none of his wants were left unsupplied. Further, his sons Critobulus, Hermogenes, Epigenes and Ctesippus were pupils of Socrates. Crito too wrote seventeen dialogues which are extant in a single volume under the titles:

That men are not made good by instruction.
Concerning superfluity.

[a] Compare the anecdote in vii. 24 from Apollonius of Tyre.
[b] *Anth. Plan.* v. 42.
[c] Meineke, *C.G.F.* iv. 386, *s.v.* Diphilus.

Τί τὸ ἐπιτήδειον ἢ Πολιτικός.
Περὶ τοῦ καλοῦ.
Περὶ τοῦ κακουργεῖν.
Περὶ εὐθημοσύνης.
Περὶ τοῦ νόμου.
Περὶ τοῦ θείου.
Περὶ τεχνῶν.
Περὶ συνουσίας.
Περὶ σοφίας.
Πρωταγόρας ἢ Πολιτικός.
Περὶ γραμμάτων.
Περὶ ποιητικῆς, [περὶ τοῦ καλοῦ].
Περὶ τοῦ μαθεῖν.
Περὶ τοῦ γνῶναι ἢ Περὶ ἐπιστήμης.
Τί τὸ ἐπίστασθαι.

## Κεφ. ιγʹ. ΣΙΜΩΝ

122 Σίμων Ἀθηναῖος, σκυτοτόμος. οὗτος ἐρχομένου Σωκράτους ἐπὶ τὸ ἐργαστήριον καὶ διαλεγομένου τινά, ὧν ἐμνημόνευεν ὑποσημειώσεις ἐποιεῖτο· ὅθεν σκυτικοὺς αὐτοῦ τοὺς διαλόγους καλοῦσιν. εἰσὶ δὲ τρεῖς καὶ τριάκοντα ἐν ἑνὶ φερόμενοι βιβλίῳ·

Περὶ θεῶν.
Περὶ τοῦ ἀγαθοῦ.
Περὶ τοῦ καλοῦ.
Τί τὸ καλόν.
Περὶ δικαίου πρῶτον, δεύτερον.
Περὶ ἀρετῆς ὅτι οὐ διδακτόν.
Περὶ ἀνδρείας πρῶτον, δεύτερον, τρίτον.
Περὶ νόμου.
Περὶ δημαγωγίας.
Περὶ τιμῆς.

What is expedient, or The Statesman.
Of Beauty.
On Doing Ill.
On Tidiness.
On Law.
Of that which is Divine.
On Arts.
Of Society.
Of Wisdom.
Protagoras, or The Statesman.
On Letters.
Of Poetry.
Of Learning.
On Knowing, or On Science.
What is Knowledge.

## Chapter 13. SIMON

Simon was a citizen of Athens and a cobbler. When Socrates came to his workshop and began to converse, he used to make notes of all that he could remember. And this is why people apply the term "leathern" to his dialogues. These dialogues are thirty-three in number, extant in a single volume:

Of the Gods.
Of the Good.
On the Beautiful.
What is the Beautiful.
On the Just: two dialogues.
Of Virtue, that it cannot be taught.
Of Courage: three dialogues.
On Law.
On Guiding the People.
Of Honour.

Περὶ ποιήσεως.
Περὶ εὐπαθείας.
Περὶ ἔρωτος.
Περὶ φιλοσοφίας.
Περὶ ἐπιστήμης.
Περὶ μουσικῆς.
Περὶ ποιήσεως.
123 Τί τὸ καλόν.
Περὶ διδασκαλίας.
Περὶ τοῦ διαλέγεσθαι.
Περὶ κρίσεως.
Περὶ τοῦ ὄντος.
Περὶ ἀριθμοῦ.
Περὶ ἐπιμελείας.
Περὶ τοῦ ἐργάζεσθαι.
Περὶ φιλοκερδοῦς.
Περὶ ἀλαζονείας.
Περὶ τοῦ καλοῦ.

οἱ δέ,

Περὶ τοῦ βουλεύεσθαι.
Περὶ λόγου ἢ περὶ ἐπιτηδειότητος.
Περὶ κακουργίας.

Οὗτος, φασί, πρῶτος διελέχθη τοὺς λόγους τοὺς Σωκρατικούς. ἐπαγγειλαμένου δὲ Περικλέους θρέψειν αὐτὸν καὶ κελεύοντος ἀπιέναι πρὸς αὐτόν, οὐκ ἂν ἔφη τὴν παρρησίαν ἀποδόσθαι.

124 Γέγονε δὲ καὶ ἄλλος Σίμων ῥητορικὰς τέχνας γεγραφώς· καὶ ἕτερος ἰατρὸς κατὰ Σέλευκον τὸν Νικάνορα· καί τις ἀνδριαντοποιός.

Of Poetry.
On Good Eating.
On Love.
On Philosophy.
On Knowledge.
On Music.
On Poetry.
What is the Beautiful
On Teaching.
On the Art of Conversation
Of Judging.
Of Being.
Of Number.
On Diligence.
On Efficiency.
On Greed.
On Pretentiousness
On the Beautiful

Others are :

On Deliberation.
On Reason, or On Expediency.
On Doing Ill.

He was the first, so we are told, who introduced the Socratic dialogues as a form of conversation. When Pericles promised to support him and urged him to come to him, his reply was, "I will not part with my free speech for money."

There was another Simon, who wrote treatises *On Rhetoric* ; another, a physician, in the time of Seleucus Nicanor ; and a third who was a sculptor.

## Κεφ. ιδ΄. ΓΛΑΥΚΩΝ

Γλαύκων Ἀθηναῖος· καὶ τούτου φέρονται ἐν ἑνὶ βιβλίῳ διάλογοι ἐννέα·

Φειδύλος.
Εὐριπίδης.
Ἀμύντιχος.
Εὐθίας.
Λυσιθείδης.
Ἀριστοφάνης.
Κέφαλος.
Ἀναξίφημος.
Μενέξενος.

φέρονται καὶ ἄλλοι δύο καὶ τριάκοντα, οἳ νοθεύονται.

## Κεφ. ιε΄. ΣΙΜΜΙΑΣ

Σιμμίας Θηβαῖος· καὶ τούτου φέρονται ἐν ἑνὶ βιβλίῳ διάλογοι τρεῖς καὶ εἴκοσι·

Περὶ σοφίας.
Περὶ λογισμοῦ.
Περὶ μουσικῆς.
Περὶ ἐπῶν.
Περὶ ἀνδρείας.
Περὶ φιλοσοφίας.
Περὶ ἀληθείας.
Περὶ γραμμάτων.
Περὶ διδασκαλίας.
Περὶ τέχνης.
Περὶ τοῦ ἐπιστατεῖν.
Περὶ πρέποντος.
Περὶ αἱρετοῦ καὶ φευκτοῦ.
Περὶ φίλου.

# END OF SAMPLE TEXT



The Complete Text can be found on our CD:
**Primary Literary Sources For Ancient Literature**
which can be purchased on our **Website :**
**www.Brainfly.net**
or
by sending **$64.95** in check or money order to :
**Brainfly Inc.**
**5100 Garfield Ave. #46**
**Sacramento CA 95841-3839**

**TEACHER'S DISCOUNT:**
If you are a **TEACHER** you can take advantage of our teacher's discount. Click on **Teachers Discount** on our website (www.Brainfly.net) or **Send us $55.95** and we will send you a full copy of ***Primary Literary Sources For Ancient Literature* AND our *5000 Classics CD (a collection of over 5000 classic works of literature in electronic format (.txt))* plus our *Wholesale price list.***

**If you have any suggestions such as books you would like to see added to the collection or if you would like our wholesale prices list please send us an email to:**

**webcomments@brainfly.net**